Ἀρχοτέλεια τοῦ ἁγίου εὐαγγελίου:

κυ α´ Τῇ ἁγίᾳ κ(αὶ) μεγάλῃ κυριακῇ τοῦ πάσχα, ἐκ τοῦ κατὰ ἰωάννην κεφαλαίου α´ ἐν ἀρχῇ ἦν ὁ λόγος τέλος

διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο:

ε Τῇ β´ ἐκ τοῦ κατὰ ἰωάννην κεφ. η θ´ μου οὐδεὶς ἑώρα

κε πώποτε. τέλος Ἰωάννης ἐβάπτιζων:

Τῇ ε´ ἐκ τοῦ κατὰ λουκᾶν κεφ. πλθ. τῷ καιρῷ ἐκείνῳ ὁ πέτρος

ἀναστὰς ἔδραμεν. τέλος ἐν τῇ κλάσει τοῦ ἄρτου:

Τῇ δ´. ἐκ τοῦ κατὰ ἰωάννην κεφ. ις τῷ καιρῷ ἐκείνῳ ἀνέστη ὁ ἰωάννης

ἐκ τῶν μαθητῶν. τέλος ἐστι τὸν υἱὸν τοῦ ἀνθρώπου:

Τῇ ε´ ἐκ τοῦ κατὰ ἰωάννην κεφ. κδ. τῷ καιρῷ ἐκείνῳ ἦν τις ἄνθρωπος ἐκ τῶν

φαρισαίων. τέλος ἀλλ᾽ ἔχῃ ζωὴν αἰώνιον:

Τῇ παρασκευῇ ἐκ τοῦ κατὰ ἰωάννην κεφ. ιθ τῷ καιρῷ ἐκείνῳ ἦλθεν

ὁ ἰησοῦς εἰς κανὰ τῆς γαλιλαίας. τέλος καὶ πιστεύσουσιν αὐτοῖς:

Τῷ σαββάτῳ ἐκ τοῦ κατὰ ἰωάννην κεφ. κε τῷ καιρῷ ἐκείνῳ ἦλθον πρὸς τὸν ἰησοῦν

οἱ μαθηταὶ αὐτοῦ. τέλος ὅτι ὁ θεὸς ἀληθής ἐστι: κυ β

Τῇ κυριακῇ τοῦ ἀντίπασχα ἐκ τοῦ κατὰ ἰωάννην κεφ. ξ οὔσης ὀψίας

τῇ ἡμέρᾳ ἐκείνῃ. τέλος ἐν τῷ ὀνόματι αὐτοῦ:


Τῇ β´ ἐκ τοῦ κατὰ ἰωάννην κεφ. ιη γάμος ἐγένετο ἐν

κανᾷ τῆς. τέλος καὶ ἐπίστευσαν αὐτόν:

Τῇ γ´ τῆς β´ ἑβδομάδος ἐκ τοῦ κατὰ ἰωάννην κεφ. κδ εἶπεν ὁ ἰησοῦς

πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν ἰουδαίους: τέλος ὅτι ἐν τῷ θεῷ ἐστιν:

Τῇ δ´ τῆς β´ ἑβδομάδος ἐκ τοῦ κατὰ ἰωάννην κεφ. λθ εἶπεν ὁ ἰησοῦς πρὸς



Τῇ γ' ε' α' κτ λβ' χε' σοθ τῷ ἐξελθόντι ἐπορεύ

χοῦ τέλ. γαγομαι αὐτῇ ἐπὶ τὸν πλοῦτον :-

Τῇ δ' ε' ε' κτ λβ' χε' σϛθ τῷ ἀπῆλθον τῇ ἱμοῖ ἀφε

ρας ἐξ οἱ γραμματεῖς τέλ. οὐχ αὐχαυτ ἐπὶ πολλῶν :-

σαβ τῆς τυροφαγ. Τῷ σαββ ε' κτ ματ χε' μβ εἶπεν ὁ κς πρόσεχε τὴν ἐλε

ημοσύνην τέλ. εἰς τοὺς αἰῶνας ἀμήν : κυ τῆς τυροφαγ.

Κυ ε' κτ ματ χε' μα εἶπεν ὁ κς ἐὰν ἀφῆ

τε τοῖς ἀνοῖς τέλ. καὶ ἡ καρδία ὑμῶν :-

ἀρχὴ τοῦ μηνὸς σεπτεμβρίου σαββάτων κυριακῶν :

σα α' ε' κτ μαρ χε' κη τῷ καιρῷ ἐπορεύετο

ὁ ις τοῖς σάββασι τέλ. ἐκ μέσου ἡ ἄλλη : κυ α' :

ε' κτ ιω χε ιη τῷ καιρῷ ἠθέλησεν ὁ ις ἐξελθεῖν εἰς τὴν γαλιλαίαν

τέλ. ἐπὶ τὸν υἱὸν τοῦ ανου :

σα β' ε' κτ ματ χε' ιζ τῷ ἀπελθόντι εἰς ἐρχόμενον

τόπων τέλ. εἰς μαρτύριον αὐτοῖς :-

Κυ β' ε' κτ μρ χε' ζ τῷ εἰσελθόντι τῷ ιυ εἰς καπερ

ναοὺμ τέλ. οὐδέποτε οὕτως εἴδομεν :-

σα γ' ε' κτ μρ χε' χ τῷ παράγοντι τῷ ιυ εἶδεν λευ

ὶν τὸν τοῦ ἀλφαίου τέλ. ἀμαρτωλοὺς εἰς μετάνοιαν :-

Κυ γ' ε' κτ μρ χε' εἶπεν ὁ κς ὅστις θέλει ὀπίσω μου

ἐλθεῖν τέλ. ἐληλυθυῖαν ἐν δυνάμει :-

σα δ' ε' κτ μρ χε' τῷ ἐξελθόντι ἐκ τοῦ ἱε

ροῦ τέλ. καὶ τοῖς ἀλλ' ἀλλαλῶν :-

Τὸ κατὰ Ματθαῖον ἅγ(ιον) εὐαγγέλιον

Βίβλος γενέσεως ἰυ χυ υἱοῦ δαδ, υἱοῦ ἀ-
βραάμ. ἀβραὰμ ἐγέννησε τὸν ἰσαάκ.
ἰσαὰκ δὲ ἐγέννησε τὸν ἰακώβ. ἰακὼβ
δὲ ἐγέννησε τὸν ἰούδαν καὶ τοὺς ἀδελ-
φοὺς αὐτοῦ. ἰούδας δὲ ἐγέννησε τὸν
φαρὲς καὶ τὸν ζαρὰ ἐκ τῆς θάμαρ. φαρὲς
δὲ ἐγέννησε τὸν ἐσρώμ. ἐσρὼμ
δὲ ἐγέννησε τὸν ἀράμ. ἀρὰμ δὲ ἐγέ-
ννησε τὸν ἀμιναδάβ. ἀμιναδὰβ
δὲ ἐγέννησε τὸν ναασσών. ναασσὼν δὲ ἐγέ-
ννησε τὸν σαλμών. σαλμὼν δὲ ἐγέ-
ννησε τὸν βοὸζ ἐκ τῆς ῥαχάβ. βο-
ὸζ δὲ ἐγέννησε τὸν ὠβὴδ ἐκ τῆς ῥούθ.
ὠβὴδ δὲ ἐγέννησε τὸν ἰεσσαί. ἰεσσαὶ
δὲ ἐγέννησε τὸν δαδ τὸν βασιλέα.
δαδ δὲ ὁ βασιλεὺς ἐγέννησε
τὸν σολομῶντα ἐκ τῆς τοῦ οὐρίου.
σολομὼν δὲ ἐγέννησε τὸν ῥοβοάμ.
ῥοβοὰμ δὲ ἐγέννησε τὸν ἀβιά.

ὑμᾶς· καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑ-
μᾶς· καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρε-
αζόντων ὑμᾶς, καὶ διωκόντων ὑμᾶς· ὅπως
γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν
τοῖς οὐρανοῖς· ὅτι τὸν ἥλιον αὐτοῦ ἀνα-
τέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς,
καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους.
μα ε Ἐὰν γὰρ ἀγαπήσητε τοὺς ἀγαπῶντας
ὑμᾶς, τίνα μισθὸν ἔχετε· οὐχὶ καὶ οἱ
τελῶναι τὸ αὐτὸ ποιοῦσι; καὶ ἐὰν ἀσ-
πάσησθε τοὺς φίλους ὑμῶν μόνον,
τί περισσὸν ποιεῖτε· οὐχὶ καὶ οἱ τελῶ-
ναι τὸ αὐτὸ ποιοῦσιν· Ἔσεσθε οὖν
μβ ε τέλειοι, ὥσπερ ὁ πατὴρ ὑμῶν ὁ ἐν
τοῖς οὐρανοῖς τέλειός ἐστι· τέλος τοῦ σαββάτου
Προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ
ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων, πρὸς τὸ
θεαθῆναι αὐτοῖς· εἰ δὲ μήγε, μισθὸν οὐκ
ἔχετε παρὰ τῷ πατρὶ ὑμῶν τῷ ἐν τοῖς
οὐρανοῖς· ὅταν οὖν ποιῇς ἐλεημο-
σύνην, μὴ σαλπίσῃς ἔμπροσθέν σου
ὥσπερ οἱ ὑποκριταὶ ποιοῦσιν ἐν ταῖς
συναγωγαῖς καὶ ἐν ταῖς ῥύμαις, ὅ-
πως δοξασθῶσιν ὑπὸ τῶν ἀνθρώπων· ἀμὴν
λέγω ὑμῖν· ἀπέχουσι τὸν μισθὸν αὐτῶν· σοῦ δὲ ποιοῦντος ἐ-
λεημοσύνην μὴ γνώτω ἡ ἀριστερά σου τί ποιεῖ ἡ
δεξιά σου· ὅπως ᾖ σου ἡ ἐλεημοσύνη ἐν τῷ κρυπτῷ·
καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ αὐτὸς

ἀποδώσει σοι ἐν τῷ φανερῷ· καὶ ὅταν
προσεύχῃ, οὐκ ἔσῃ ὥσπερ οἱ ὑποκριταί· ὅτι
φιλοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς γωνίαις
τῶν πλατειῶν ἑστῶτες προσεύχεσθαι, ὅπως
ἂν φανῶσι τοῖς ἀνθρώποις· ἀμὴν λέγω ὑμῖν, ὅ-
τι ἀπέχουσι τὸν μισθὸν αὐτῶν· σὺ δὲ ὅταν
προσεύχῃ, εἴσελθε εἰς τὸ ταμεῖόν σου· καὶ κλείσας
τὴν θύραν σου, πρόσευξαι τῷ πατρί σου τῷ ἐν τῷ
κρυπτῷ· καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ,
ἀποδώσει σοι ἐν τῷ φανερῷ. Προσευχό-
μενοι δὲ, μὴ βαττολογήσητε ὥσπερ οἱ ἐθνικοί·
δοκοῦσι γὰρ, ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰ-
σακουσθήσονται· μὴ οὖν ὁμοιωθῆτε αὐτοῖς·
οἶδε γὰρ ὁ πατὴρ ὑμῶν ὧν χρείαν ἔχετε πρὸ τοῦ
ὑμᾶς αἰτῆσαι αὐτόν· οὕτως οὖν προσεύ-
χεσθε ὑμεῖς· Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς·
ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεί-
α σου· γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ
καὶ ἐπὶ τῆς γῆς· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον
δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφει-
λήματα ἡμῶν· ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς
ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς
εἰς πειρασμόν· ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ
πονηροῦ· ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύ-
ναμις καὶ ἡ δόξα, εἰς τοὺς αἰῶνας· ἀμήν· τέλος
τοῦ σαββάτου

ια περὶ τῆς ἐν θαλάσσῃ ἐπιτιμήσεως

φωλεοὺς ἔχουσι καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κα-
τασκηνώσεις· ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει
ποῦ τὴν κεφαλὴν κλίνῃ. ἕτερος δὲ τῶν μα-
θητῶν αὐτοῦ εἶπεν αὐτῷ· κύριε, ἐπίτρεψόν
μοι πρῶτον ἀπελθεῖν καὶ θάψαι τὸν πατέρα μου·
ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· ἀκολούθει μοι· καὶ ἄφες
τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς.
Καὶ ἐμβάντι αὐτῷ εἰς τὸ πλοῖον, ἠκολούθησαν
αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. καὶ ἰδοὺ σεισμὸς
ια ξθ ε μέγας ἐγένετο ἐν τῇ θαλάσσῃ, ὥστε τὸ πλοῖον
καλύπτεσθαι ὑπὸ τῶν κυμάτων· αὐτὸς
δὲ ἐκάθευδεν. καὶ προσελθόντες οἱ μαθη-
ταὶ ἤγειραν αὐτὸν λέγοντες· κύριε σῶσον ἡ-
μᾶς, ἀπολλύμεθα. καὶ λέγει αὐτοῖς· τί
δειλοί ἐστε ὀλιγόπιστοι; τότε ἐγερθεὶς ἐπε-
τίμησε τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ· καὶ ἐ-
γένετο γαλήνη μεγάλη. οἱ δὲ ἄνθρωποι ἐθαύμασαν
λέγοντες· ποταπός ἐστιν οὗτος, ὅτι καὶ οἱ ἄνε-
μοι καὶ ἡ θάλασσα ὑπακούουσιν αὐτῷ;
ιβ Καὶ ἐλθόντι αὐτῷ εἰς τὸ πέραν εἰς τὴν χώραν τῶν
Γεργεσηνῶν, ὑπήντησαν αὐτῷ δύο δαιμο-
νιζόμενοι ἐκ τῶν μνημείων ἐξερχόμε-
νοι χαλεποὶ λίαν, ὥστε μὴ ἰσχύειν τινὰ
παρελθεῖν διὰ τῆς ὁδοῦ ἐκείνης. καὶ

ιβ περὶ τῶν δύο δαιμονιζομένων:

Καὶ ἰδοὺ ἔκραξαν λέγοντες· τί ἡμῖν καὶ σοί, Ἰησοῦ υἱὲ τοῦ
θεοῦ; ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς;
ἦν δὲ μακρὰν ἀπ᾽ αὐτῶν ἀγέλη χοίρων
πολλῶν βοσκομένη. οἱ δὲ δαίμονες παρε-
κάλουν αὐτὸν λέγοντες· εἰ ἐκβάλλεις ἡμᾶς,
ἐπίτρεψον ἡμῖν ἀπελθεῖν εἰς τὴν ἀγέλην
τῶν χοίρων. καὶ εἶπεν αὐτοῖς, ὑπάγετε. οἱ δὲ ἐ-
ξελθόντες ἀπῆλθον εἰς τὴν ἀγέλην τῶν
χοίρων· καὶ ἰδοὺ ὥρμησε πᾶσα ἡ ἀγέλη τῶν
χοίρων κατὰ τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν,
καὶ ἀπέθανον ἐν τοῖς ὕδασιν. οἱ δὲ βοσ-
κοντες ἔφυγον, καὶ ἀπελθόντες εἰς τὴν πόλιν
ἀπήγγειλαν πάντα, καὶ τὰ τῶν δαιμο-
νιζομένων. καὶ ἰδοὺ πᾶσα ἡ πόλις ἐξῆλθεν
εἰς συνάντησιν τῷ Ἰησοῦ· καὶ ἰδόντες αὐτὸν πα-
ρεκάλεσαν ὅπως μεταβῇ ἀπὸ τῶν ὁρίων αὐτῶν.
καὶ ἐμβὰς εἰς τὸ πλοῖον, διεπέρασε, καὶ
ἦλθεν εἰς τὴν ἰδίαν πόλιν. τέλος καὶ ἰδοὺ προσ-
έφερον αὐτῷ παραλυτικὸν ἐπὶ κλίνης βεβλη-
μένον. καὶ ἰδὼν ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν, εἶπε
ιγ τῷ παραλυτικῷ· θάρσει τέκνον, ἀφέων-
ταί σοι αἱ ἁμαρτίαι σου. καὶ ἰδού τινες τῶν

ιγ περὶ τοῦ παραλυτικοῦ:-

κεφάλαια τοῦ κατὰ Μάρκον εὐαγγελίου

α περὶ τοῦ δαιμονιζομένου :
β περὶ τῆς πενθερᾶς Πέτρου :
γ περὶ τῶν ἰαθέντων ἀπὸ ποικίλων νόσων :
δ περὶ τοῦ λεπροῦ :
ε περὶ τοῦ παραλυτικοῦ :
ς περὶ τοῦ τελώνου :
ζ περὶ τοῦ ξηρὰν ἔχοντος χεῖρα :
η περὶ τῆς τῶν ἀποστόλων ἐκλογῆς :
θ περὶ τοῦ σπόρου παραβολῆ :
ι περὶ τῆς ἐπιτιμήσεως τῶν ὑδάτων :
ια περὶ τοῦ λεγεῶνος :
ιβ περὶ τῆς θυγατρὸς τοῦ ἀρχισυναγώγου :
ιγ περὶ τῆς αἱμορροούσης :
ιδ περὶ τῆς τῶν ἀποστόλων διαταγῆς :
ιε περὶ Ἡρώδου καὶ Ἰωάννου :
ις περὶ τῶν ε ἄρτων καὶ τῶν β ἰχθύων :
ιζ περὶ τοῦ ἐν θαλάσσῃ περιπάτου :
ιη περὶ τῆς παραβάσεως τῆς ἐντολῆς τοῦ θεοῦ :
ιθ περὶ τῆς Φοινικίσσης :
κ περὶ τοῦ μογγιλάλου :
κα περὶ τῶν ζ ἄρτων :
κβ περὶ τῆς ζύμης τῶν Φαρισαίων :
κγ περὶ τοῦ τυφλοῦ :

κδ περὶ τῆς ἐν Καισαρείᾳ ἐπερωτήσεως :
κε περὶ τῆς μεταμορφώσεως :
κς περὶ τοῦ σεληνιαζομένου :
κζ περὶ τῶν διαλογιζομένων τίς μείζων :
κη περὶ τῶν ἐπερωτησάντων εἰ ἔξεστιν ἀπολῦσαι γυναῖκα :
κθ περὶ τοῦ ἐπερωτήσαντος πλουσίου τὸν Ἰησοῦν :
λ περὶ τῶν υἱῶν Ζεβεδαίου :
λα περὶ Βαρτιμαίου :
λβ περὶ τοῦ πώλου :
λγ περὶ τῆς ξηρανθείσης συκῆς :
λδ περὶ ἀμνησικακίας :
λε περὶ τῶν ἐπερωτησάντων τὸν κύριον ἀρχιερέων καὶ πρεσβυτέρων :
λς περὶ τοῦ ἀμπελῶνος :
λζ περὶ τῶν ἐπερωτησάντων διὰ τὸν κῆνσον :
λη περὶ τῶν Σαδδουκαίων :
λθ περὶ τοῦ γραμματέως :
μ περὶ τῆς τοῦ κυρίου ἐπερωτήσεως :
μα περὶ τῆς τὰ δύο λεπτά :
μβ περὶ τῆς συντελείας : μγ περὶ τῆς ἡμέρας καὶ ὥρας :
μδ περὶ τῆς ἀλειψάσης τὸν κύριον μύρῳ :
με περὶ τοῦ πάσχα :~
μς περὶ τῆς παραδόσεως προφητεία :
μζ περὶ τῆς ἀρνήσεως Πέτρου :
μη περὶ τῆς αἰτήσεως τοῦ κυριακοῦ σώματος :~

Σημεῖα δὲ τοῖς πιστεύσασι ταῦτα παρακολου-
θήσει· ἐν τῷ ὀνόματί μου· δαιμόνια ἐκ-
βαλοῦσιν· γλώσσαις λαλήσουσι καιναῖς·
ὄφεις ἀροῦσιν· κἂν θανάσιμόν τι πίωσιν,
οὐ μὴ αὐτοὺς βλάψῃ· ἐπὶ ἀρρώστους, χεῖ-
ρας ἐπιθήσουσι. καὶ καλῶς ἕξουσιν·
ὁ μὲν οὖν κ(ύριο)ς μετὰ τὸ λαλῆσαι αὐτοῖς. ἀνε-
λήφθη εἰς τὸν οὐρανόν. καὶ ἐκάθισεν
ἐκ δεξιῶν τοῦ θ(εο)ῦ· ἐκεῖνοι δὲ
ἐξελθόντες. ἐκήρυξαν παν-
ταχοῦ· τοῦ κ(υρίο)υ συνεργοῦντος·
καὶ τὸν λόγον βεβαιοῦντος
διὰ τῶν ἐπακολου-
θούντων. σημείων·
ἀμήν ✣ ++

ΕΥΑΓΓΕΛΙΟΝ ΚΑΤΑ ΜΑΡΚΟΝ +

ΤΟΥ ΚΑΤΑ ΛΟΥΚΑΝ ΕΥΑΓΓΕΛΙΟΥ

ΤΑ ΚΕΦΑΛΑΙΑ:·

κβ περὶ παραβολῆς τοῦ σπείροντος :
κγ περὶ τῆς ἐπιτιμήσεως τῶν ὑδάτων :
κδ περὶ τοῦ λεγεῶνος :
κε περὶ τῆς θυγατρὸς τοῦ ἀρχισυναγώγου :
κς περὶ τῆς αἱμορροούσης :
κζ περὶ τῆς ἀποστολῆς τῶν δώδεκα :
κη περὶ τῶν πέντε ἄρτων καὶ τῶν δύο ἰχθύων :
κθ περὶ τῆς τοῦ Ἰησοῦ ἐπερωτήσεως :
λ περὶ τῆς μεταμορφώσεως τοῦ Ἰησοῦ :
λα περὶ τοῦ σεληνιαζομένου :
λβ περὶ τῶν διαλογιζομένων τίς μείζων :
λγ περὶ τοῦ μὴ ἐπιτρεπομένου ἀκολουθεῖν :
λδ περὶ τῶν ἀναδειχθέντων ἑβδομήκοντα :
λε περὶ τοῦ ἐπερωτήσαντος νομικοῦ :
λς περὶ τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς :
λζ περὶ Μάρθας καὶ Μαρίας :
λη περὶ προσευχῆς :
λθ περὶ τοῦ ἔχοντος δαιμόνιον κωφόν :
μ περὶ τῆς ἐκ τοῦ ὄχλου ἐπαράσης φωνήν :
μα περὶ τῶν αἰτούντων σημεῖον :
μβ περὶ τοῦ Φαρισαίου τοῦ καλέσαντος τὸν Ἰησοῦν :
μγ περὶ τοῦ ταλανισμοῦ τῶν νομικῶν :
μδ περὶ τῆς ζύμης τῶν Φαρισαίων :
με περὶ τοῦ θέλοντος μερίσασθαι τὴν κληρονομίαν :

μς περὶ οὗ ηὐφόρησεν ἡ χώρα πλουσίου :
μζ περὶ τῶν Γαλιλαίων καὶ τῶν ἐν τῷ Σιλωάμ :
μη περὶ τῆς ἐχούσης πνεῦμα ἀσθενείας :
μθ περὶ τῶν παραβολῶν :
ν περὶ τοῦ ἐπερωτήσαντος, εἰ ὀλίγοι οἱ σωζόμενοι :
να περὶ τῶν εἰπόντων τῷ Ἰησοῦ διὰ Ἡρώδην :
νβ περὶ τοῦ ὑδρωπικοῦ :
νγ περὶ τοῦ μὴ ἀγαπᾶν τὰς πρωτοκλισίας :
νδ περὶ τῶν καλουμένων ἐν τῷ δείπνῳ :
νε παραβολὴ περὶ οἰκοδομῆς πύργου :
νς παραβολὴ περὶ ἑκατὸν προβάτων :
νζ περὶ τοῦ ἀποδημήσαντος εἰς χώραν μακράν :
νη περὶ τοῦ οἰκονόμου τῆς ἀδικίας :
νθ περὶ τοῦ πλουσίου καὶ τὸν Λάζαρον :
ξ περὶ τῶν δέκα λεπρῶν :
ξα περὶ τοῦ κριτοῦ τῆς ἀδικίας :
ξβ περὶ τοῦ Φαρισαίου καὶ τοῦ τελώνου :
ξγ περὶ τοῦ ἐπερωτήσαντος τὸν Ἰησοῦν πλουσίου :
ξδ περὶ τοῦ τυφλοῦ :
ξε περὶ Ζακχαίου :
ξς περὶ τοῦ πορευθέντος λαβεῖν ἑαυτῷ βασιλείαν :
ξζ περὶ τῶν λαβόντων τὰς μνᾶς :
ξη περὶ τοῦ πώλου :
ξθ περὶ τῶν ἐπερωτησάντων τὸν κύριον ἀρχιερέων καὶ γραμματέων :



ο τοῦ ἀμπελῶνος :
οα τῶν ἐγκαθέτων διὰ τὸν κῆνσον :
οβ τῶν σαδδουκαίων :
ογ τοῦ κυρίου ἐπερωτήσεως πρὸς τοὺς φαρισαίους ·
οδ τῆς τὰ δύο λεπτά :
οε τῆς συντελείας :
ος τοῦ πάσχα :
οζ τῶν φιλονεικησάντων τίς μείζων :
οη τῆς ἐξαιτήσεως τοῦ σατανᾶ :
οθ ἐξουθένησις ἡρώδου :
π τῶν κοπτομένων γυναικῶν :
πα τοῦ μετανοήσαντος λῃστοῦ :
πβ τῆς αἰτήσεως τοῦ σώματος τοῦ κυρίου :
πγ Κλεόπα ·

εὐαγγέλιον κατὰ λουκᾶν : Εὐαγγέλιον εἰς τὸ γενέθλιον τοῦ τιμίου προδρόμου

Ἐπειδήπερ πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι διήγησιν περὶ τῶν πεπληροφορημένων ἐν ἡμῖν πραγμάτων. καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου. ἔδοξε κἀμοὶ παρηκολουθηκότι ἄνωθεν πᾶσιν ἀκριβῶς καθεξῆς σοι γράψαι κράτιστε θεόφιλε· ἵνα ἐπιγνῷς περὶ ὧν κατηχήθης λόγων τὴν ἀσφάλειαν. ἀρχὴ εἰς τοῦ ...

Ἐγένετο ἐν ταῖς ἡμέραις ἡρῴδου τοῦ βασιλέως τῆς ἰουδαίας. ἱερεύς τις, ὀνόματι ζαχαρίας. ἐξ ἐφημερίας ἀβιά. καὶ ἡ γυνὴ αὐτοῦ ἐκ τῶν θυγατέρων ἀαρών. καὶ τὸ ὄνομα αὐτῆς ἐλισάβετ· ἦσαν δὲ δίκαιοι ἀμφότεροι ἐνώπιον τοῦ θεοῦ. πορευόμενοι ἐν πάσαις ταῖς ἐντολαῖς καὶ δικαιώμασι τοῦ κυρίου ἄμεμπτοι· καὶ οὐκ ἦν αὐτοῖς τέκνον. καθότι ἡ ἐλισάβετ ἦν στεῖρα· καὶ ἀμφότεροι προβεβηκότες ἐν ταῖς ἡμέραις αὐτῶν ἦσαν· ἐγένετο δὲ ἐν τῷ ἱερατεύειν αὐτὸν· ἐν τῇ τάξει τῆς ἐφημερίας αὐτοῦ ἔναντι τοῦ θεοῦ. κατὰ τὸ ἔθος τῆς ἱερατείας. ἔλαχε τοῦ θυμιᾶσαι εἰσελθὼν εἰς τὸν ναὸν τοῦ κυρίου · καὶ

τοῦ ναοὺμ·
τοῦ ναγγαί·
τοῦ ματταθίου
τοῦ σεμεΐ
ΙΒ τοῦ ἰωσήφ
τοῦ ἰούδα
τοῦ ἰωαννάν·
τοῦ ῥησά
τοῦ ζοροβάβελ
τοῦ σαλαθιήλ
τοῦ νηρί
τοῦ μελχί
τοῦ ἀδδί
τοῦ κωσάμ
τοῦ ἐλμωδάμ
τοῦ ἤρ
τοῦ ἰωσή
τοῦ ἐλιέζερ
τοῦ ἰωρίμ·
τοῦ ματθάτ
τοῦ λευΐ
τοῦ συμεών
τοῦ ἰούδα
τοῦ ἰωσήφ

τοῦ ἐσλί·
τοῦ μαάθ·
τοῦ ἐλιακείμ·
τοῦ μελεά·
τοῦ μαϊνάμ·
τοῦ ματταθά·
τοῦ ναθάν·
τοῦ δαυίδ·
τοῦ ἰεσσαί·
τοῦ ὠβήδ·
τοῦ βοόζ·
τοῦ σαλμών·
τοῦ ναασσών·
τοῦ ἀμιναδάμ·
τοῦ ἀράμ·
τοῦ ἐσρώμ·
τοῦ φαρές·
τοῦ ἰούδα·
τοῦ ἰακώβ·
τοῦ ἰσαάκ·
τοῦ ἀβραάμ·
τοῦ θάρα·
τοῦ ναχώρ·

ζ τέλ τοῦ ἀσειρ μοῦ τοῦ νορε :–

τοῦ ἰωνάμ — τοῦ σερούχ·
τοῦ ῥαγαῦ — τοῦ φαλέκ·
τοῦ ἔβερ — τοῦ σαλά·
τοῦ καϊνάμ — τοῦ ἀρφαξάδ·
τοῦ σήμ — τοῦ νῶε·
τοῦ λάμεχ — τοῦ μαθουσάλα·
τοῦ ἐνώχ — τοῦ ἰάρεδ·
τοῦ μαλελεήλ — τοῦ καϊνάμ·
τοῦ ἐνώς — τοῦ σήθ· οε
τοῦ ἀδάμ — ζ τοῦ θεοῦ :–

ε / τ / ιγ Ἰησοῦς δὲ πνεύματος ἁγίου πλήρης ὑπέστρεψεν ἀπὸ ιβ
τοῦ ἰορδάνου, καὶ ἤγετο ἐν τῷ πνεύματι εἰς
τὴν ἔρημον ἡμέρας τεσσαράκοντα πει-
ραζόμενος ὑπὸ τοῦ διαβόλου·
Καὶ οὐκ ἔφαγεν οὐδὲν ἐν ταῖς ἡμέραις ἐ- ιϛ
κείναις· καὶ συντελεσθεισῶν αὐτῶν, ὕ-
στερον ἐπείνασεν· καὶ εἶπεν αὐτῷ
ὁ διάβολος· εἰ υἱὸς εἶ τοῦ θεοῦ. εἰπὲ τῷ λί- ιδ
θῳ τούτῳ ἵνα γένηται ἄρτος·
Καὶ ἀπεκρίθη ἰησοῦς πρὸς αὐτὸν λέγων· γέ-
γραπται· ὅτι οὐκ ἐπ᾽ ἄρτῳ μόνῳ ζήσε-
ται ὁ ἄνθρωπος. ἀλλ᾽ ἐπὶ παντὶ ῥήματι θεοῦ.
Καὶ ἀναγαγὼν αὐτὸν ὁ διάβολος εἰς ὄρος
ὑψηλόν, ἔδειξεν αὐτῷ πάσας τὰς

ις περὶ τῆς ἀποστόλων ἐκλογῆς:-

ιε τοὺς μαθητὰς αὐτοῦ· καὶ ἐκλεξάμενος
ἀπ' αὐτῶν δώδεκα· οὓς καὶ ἀποστόλους ὠ-
νόμασεν· Σίμωνα ὃν καὶ ὠνό-
μασεν Πέτρον· καὶ Ἀνδρέαν τὸν ἀδελ-
φὸν αὐτοῦ· Ἰάκωβον· καὶ Ἰωάννην·
Φίλιππον· καὶ Βαρθολομαῖον· Ματθαῖ-
ον· καὶ Θωμᾶν· Ἰάκωβον τὸν τοῦ Ἀλφαί-
με ου· καὶ Σίμωνα τὸν καλούμενον ζηλωτὴν·
Ἰούδαν Ἰακώβου· καὶ Ἰούδαν Ἰσκαριώ-
την· ὃς καὶ ἐγένετο προδότης·
κε ιε τῇ ς̄ τ ἑβδ εἰς ἑω Καὶ καταβὰς μετ' αὐτῶν ἔστη ἐπὶ τόπου πεδι-
νοῦ· καὶ ὄχλος μαθητῶν αὐτοῦ· καὶ πλῆ-
θος πολὺ τοῦ λαοῦ· ἀπὸ πάσης τῆς Ἰ-
ουδαίας καὶ Ἱερουσαλήμ· καὶ τῆς
παραλίου Τύρου καὶ Σιδῶνος· οἳ ἦλθον
ἀκοῦσαι αὐτοῦ· καὶ ἰαθῆναι ἀπὸ τῶν νό-
σων αὐτῶν· καὶ οἱ ὀχλούμενοι ἀπὸ
πνευμάτων ἀκαθάρτων καὶ ἐθεραπεύ-
οντο· καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι
αὐτοῦ· ὅτι δύναμις παρ' αὐτοῦ ἐξήρ-
μς χετο καὶ ἰᾶτο πάντας· τέλος· Καὶ αὐτὸς ἐ- ιζ
πάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς
μαθητὰς αὐτοῦ ἔλεγεν·
μζ Μακάριοι οἱ πτωχοί· ὅτι ὑμετέρα ἐστὶν

ιζ περὶ τῶν μακαρισμῶν:-

ἡ βασιλεία τοῦ θεοῦ· μακάριοι οἱ πεινῶντες μη
νῦν ὅτι χορτασθήσεσθε· μακάριοι οἱ κλαίον-
τες νῦν ὅτι γελάσετε· μακάριοί ἐστε ὅταν μθ
μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι· καὶ ὅταν ἀφορίσω-
σιν ὑμᾶς καὶ ὀνειδίσωσι· καὶ ἐκβάλωσι τὸ
ὄνομα ὑμῶν ὡς πονηρὸν ἕνεκα τοῦ υἱοῦ τοῦ
ἀνθρώπου· χάρητε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτή-
σατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐ- ε̄ ς̄ τς̄ τ
τε ρανῷ· κατὰ ταῦτα γὰρ ἐποίουν τοῖς προ- ἑω τῇ β τῆς ϛ ἑβδ
φήταις οἱ πατέρες αὐτῶν· πλὴν οὐαὶ ὑ-
μῖν τοῖς πλουσίοις· ὅτι ἀπέχετε τὴν ν
παράκλησιν ὑμῶν· οὐαὶ ὑμῖν οἱ ἐμ-
πεπλησμένοι· ὅτι πεινάσετε· οὐαὶ ὑ-
μῖν οἱ γελῶντες νῦν· ὅτι πενθήσετε καὶ
κλαύσετε· οὐαὶ ὅταν καλῶς ὑμᾶς να
εἴπωσιν οἱ ἄνθρωποι· κατὰ ταῦτα γὰρ ἐποί-
ουν τοῖς ψευδοπροφήταις οἱ πατέρες αὐ-
τῶν· ἀλλ' ὑμῖν λέγω τοῖς ἀκούουσιν·
ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν· καλῶς νβ
ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς· εὐλογεῖ-
τε τοὺς καταρωμένους ὑμῖν· προσεύ-
χεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς· νγ
τῷ τύπτοντί σε ἐπὶ τὴν σιαγόνα πάρεχε
καὶ τὴν ἄλλην· καὶ ἀπὸ τοῦ αἴροντός σου

ρκς λθ περὶ τοῦ ἔχοντος δαιμόνιον κωφόν:

ὁ ἐξ οὐρανοῦ δώσει πνεῦμα ἅγιον τοῖς αἰτοῦσιν αὐτό(ν)·
καὶ ἦν ἐκβάλλων δαιμόνιον· καὶ αὐτὸ ἦν κω
φόν· ἐγένετο δὲ τοῦ δαιμονίου ἐξελθόντος ρκζ
ἐλάλησεν ὁ κωφός· καὶ ἐθαύμασαν οἱ ὄχλοι·
ρκη τινὲς δὲ ἐξ αὐτῶν εἶπον· ἐν βεελζεβοὺλ ἄρ
χοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμό
νια· ἕτεροι δὲ πειράζοντες σημεῖον
παρ' αὐτοῦ ἐζήτουν ἐξ οὐρανοῦ· αὐτὸς
ρκθ δὲ εἰδὼς αὐτῶν τὰ διανοήματα· εἶπεν
αὐτοῖς· πᾶσα βασιλεία ἐφ' ἑαυτὴν δια
μερισθεῖσα ἐρημοῦται· καὶ οἶκος ἐπὶ
οἶκον πίπτει· εἰ δὲ καὶ ὁ σατανᾶς ἐφ' ἑ
αυτὸν διεμερίσθη· πῶς σταθήσεται ἡ βα
σιλεία αὐτοῦ· ὅτι λέγετε ἐν βεελζεβοὺλ
ἐκβάλλειν με τὰ δαιμόνια· εἰ δὲ ἐγὼ ἐν
βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια·
οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι· διὰ τοῦ
το κριταὶ ὑμῶν αὐτοὶ ἔσονται· εἰ δὲ ἐν δα
κτύλῳ θεοῦ ἐκβάλλω τὰ δαιμόνια· ἄρα ἔ
φθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ θεοῦ· ὅ
ταν ὁ ἰσχυρὸς καθωπλισμένος φυλάσσῃ
τὴν ἑαυτοῦ αὐλήν· ἐν εἰρήνῃ ἐστὶ τὰ ὑπάρ
χοντα αὐτοῦ· ἐπὰν δὲ ὁ ἰσχυρότερος αὐτοῦ
ἐπελθὼν νικήσῃ αὐτόν· τὴν πανοπλίαν
αὐτοῦ αἴρει ἐφ' ᾗ ἐπεποίθει· καὶ τὰ σκῦλα

αὐτοῦ διαδίδωσιν· ὁ μὴ ὢν μετ' ἐμοῦ· ρλ
κατ' ἐμοῦ ἐστι· καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ
σκορπίζει· ὅταν τὸ ἀκάθαρτον πνεῦ
μα ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου· διέρχεται δι' ἀ
νύδρων τόπων ζητοῦν ἀνάπαυσιν· καὶ
μὴ εὑρίσκον λέγει· ὑποστρέψω εἰς τὸν οἶκόν
μου ὅθεν ἐξῆλθον· καὶ ἐλθὸν εὑρίσκει σεσα
ρωμένον καὶ κεκοσμημένον· τότε πο
ρεύεται καὶ παραλαμβάνει ἑπτὰ ἕτε
ρα πνεύματα πονηρότερα ἑαυτοῦ· καὶ
εἰσελθόντα κατοικεῖ ἐκεῖ· καὶ γίνεται τὰ
ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χείρονα τῶν
πρώτων· Ἐγένετο δὲ ἐν τῷ λέγειν αὐ ρλα
τὸν ταῦτα· ἐπάρασά τις γυνὴ φωνὴν
ἐκ τοῦ ὄχλου· εἶπεν αὐτῷ· μακαρία
ἡ κοιλία ἡ βαστάσασά σε· καὶ μαστοὶ οὓς
ἐθήλασας· αὐτὸς δὲ εἶπε· μενοῦνγε
μακάριοι οἱ ἀκούοντες τὸν λόγον τοῦ
ρλβ θεοῦ καὶ φυλάσσοντες αὐτόν· τῶν δὲ
ὄχλων ἐπαθροιζομένων· ἤρξατο λέγειν·
ἡ γενεὰ αὕτη πονηρά ἐστι· σημεῖον ἐπι
ζητεῖ· καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ·
εἰ μὴ τὸ σημεῖον ἰωνᾶ τοῦ προφήτου·
καθὼς γὰρ ἐγένετο ἰωνᾶς σημεῖον τοῖς νι
νευΐταις· οὕτως ἔσται καὶ ὁ υἱὸς τοῦ

μ περὶ τῆς ἐκ τοῦ ὄχλου ἐπάρασης
φωνήν·

ἀπὸ τῆς γενεᾶς ταύτης· βασίλισσα νότου
ἐγερθήσεται ἐν τῇ κρίσει μετὰ τῶν ἀν-
δρῶν τῆς γενεᾶς ταύτης καὶ κατακρι-
νεῖ αὐτούς· ὅτι ἦλθεν ἐκ τῶν περάτων
τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν σολομῶν-
τος· καὶ ἰδοὺ πλεῖον σολομῶντος ὧ-
δε· ἄνδρες νινευῖται ἀναστήσονται ἐν
τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης καὶ
κατακρινοῦσιν αὐτήν· ὅτι μετενόησαν
εἰς τὸ κήρυγμα ἰωνᾶ· καὶ ἰδοὺ πλεῖον
ρλδ ἰωνᾶ ὧδε· οὐδεὶς δὲ λύχνον ἅψας εἰς
κρυπτὴν τίθησιν· οὐδὲ ὑπὸ τὸν μόδι-
ον· ἀλλ' ἐπὶ τὴν λυχνίαν· ἵνα οἱ εἰσπο-
ρευόμενοι τὸ φέγγος βλέπωσιν· ὁ λύ- ἀρ
χνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός·
ὅταν οὖν ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ· καὶ
ὅλον σου τὸ σῶμα φωτεινόν ἐστιν· ἐπὰν
δὲ πονηρὸς ᾖ· καὶ τὸ σῶμά σου σκοτει-
νόν ἐστι· σκόπει οὖν μὴ τὸ φῶς τὸ ἐν
σοὶ σκότος ἐστίν· εἰ οὖν τὸ σῶμά σου
ὅλον φωτεινόν· μὴ ἔχον τι μέρος σκο-
τεινόν· ἔσται φωτεινὸν ὅλον· ὡς ὅταν ὁ
λύχνος τῇ ἀστραπῇ φωτίζῃ σε· ἐν
μβ δὲ τῷ λαλῆσαι· ἠρώτα αὐτὸν φαρισαῖ-
ός τις ὅπως ἀριστήσῃ παρ' αὐτῷ· εἰσ-

μβ περὶ τοῦ φαρισαίου τοῦ καλέσαντος
τὸν ἰν̄

ελθὼν δὲ ἀνέπεσεν· ὁ δὲ φαρισαῖος
ἰδὼν ἐθαύμασεν ὅτι οὐ πρότερον ἐβα-
πτίσθη πρὸ τοῦ ἀρίστου· εἶπε δὲ ὁ κς̄ ρλε
πρὸς αὐτόν· νῦν ὑμεῖς οἱ φαρισαῖοι τὸ ἔ-
ξωθεν τοῦ ποτηρίου καὶ τοῦ πίνακος
καθαρίζετε· τὸ δὲ ἔσωθεν ὑμῶν γέμει
ἁρπαγῆς καὶ πονηρίας· ἄφρονες· οὐχ
ὁ ποιήσας τὸ ἔξωθεν καὶ τὸ ἔσωθεν ἐ-
ποίησε· πλὴν τὰ ἐνόντα δότε ἐλεη-
μοσύνην· καὶ ἰδοὺ πάντα καθαρὰ ὑ-
μῖν ἐστιν· ἀλλ' οὐαὶ ὑμῖν τοῖς φαρισαί- ρλς
οις· ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον
καὶ τὸ πήγανον καὶ πᾶν λάχανον·
καὶ παρέρχεσθε τὴν κρίσιν καὶ τὴν
ἀγάπην τοῦ θῦ· ταῦτα δὲ ἔδει ποι- ἀρ
ῆσαι κἀκεῖνα μὴ ἀφιέναι· οὐαὶ ὑμῖν
ρλζ τοῖς φαρισαίοις· ὅτι ἀγαπᾶτε τὴν πρω-
τοκαθεδρίαν ἐν ταῖς συναγωγαῖς· καὶ
τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς· οὐ- ρλη
αὶ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι
ὑποκριταί· ὅτι ἐστὲ ὡς τὰ μνημεῖα
τὰ ἄδηλα· καὶ οἱ ἄνθρωποι περιπατοῦν-
τες ἐπάνω οὐκ οἴδασιν· ἀποκριθεὶς
δέ τις τῶν νομικῶν λέγει αὐτῷ· διδά-
σκαλε· ταῦτα λέγων· καὶ ἡμᾶς ὑ-

[illegible]



ἐν τοῖς κόλποις αὐτοῦ. καὶ αὐτὸς φω
νήσας εἶπε· πάτερ ἀβραάμ· ἐλέησόν
με καὶ πέμψον λάζαρον· ἵνα βάψῃ
τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδα
τος· καὶ καταψύξῃ τὴν γλῶσ
σάν μου· ὅτι ὀδυνῶμαι
ἐν τῇ φλογὶ ταύτῃ.
εἶπε δὲ ἀβρα
άμ· τέκνον·
μνήσθητι
ὅτι ἀ
πε
λαβες σὺ τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου
καὶ λάζαρος ὁμοίως τὰ κακά· νῦν
δὲ ὧδε παρακαλεῖται· σὺ δὲ ὀδυνᾶ
σαι· καὶ ἐπὶ πᾶσι τούτοις μετα
ξὺ ἡμῶν καὶ ὑμῶν· χάσμα
μέγα ἐστήρικται· ὅπως
οἱ θέλοντες διαβῆ
ναι ἔνθεν πρὸς
ὑμᾶς μὴ δύνων
ται· μηδὲ
οἱ ἐκεῖθεν πρὸς ἡμᾶς διαπερῶ
σιν. εἶπε δέ· ἐρωτῶ οὖν σε πάτερ· ἵνα πέμ
ψῃς αὐτὸν εἰς τὸν οἶκον τοῦ πατρός μου· ἔχω γὰρ

πέντε ἀδελφούς· ὅπως διαμαρτύρη
ται αὐτοῖς· ἵνα μὴ καὶ αὐτοὶ ἔλθωσιν εἰς
τὸν τόπον τοῦτον τῆς βασάνου.
λέγει δὲ αὐτῷ ἀβραάμ· ἔχουσι μωσέα
καὶ τοὺς προφήτας· ἀκουσάτωσαν αὐτῶν.
ὁ δὲ εἶπεν· οὐχί πάτερ ἀβραάμ· ἀλλ' ἐάν
τις ἀπὸ νεκρῶν πορευθῇ, πρὸς αὐτούς
μετανοήσουσιν. εἶπε δὲ αὐτῷ·
εἰ μωσέως καὶ τῶν προφητῶν οὐκ ἀκού
ουσιν. οὐδὲ ἐάν τις ἐκ τῶν νεκρῶν
ἀναστῇ, πεισθήσονται. τέλος ἀρχ(ή) ρϞζ
Εἶπεν δὲ πρὸς τοὺς μαθητάς· ἀνένδε
κτόν ἐστιν τοῦ μὴ ἐλθεῖν τὰ σκάνδαλα.
οὐαὶ δὲ δι' οὗ ἔρχεται· λυσιτελεῖ αὐτῷ,
εἰ μύλος ὀνικὸς περίκειται περὶ τὸν
τράχηλον αὐτοῦ· καὶ ἔρριπται εἰς τὴν θάλασ
σαν, ἢ ἵνα σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων. κε
Εἶπεν ὁ κ(ύριο)ς· προσέχετε ἑαυτοῖς· ἀρχ(ή)
ἐὰν δὲ ἁμαρτήσῃ εἰς σὲ ὁ ἀδελφός σου· ἐπι ρϞη
τίμησον αὐτῷ· καὶ ἐὰν μετανοήσῃ,
ἄφες αὐτῷ· καὶ ἐὰν ἑπτάκις τῆς ρϞθ
ἡμέρας ἁμαρτήσῃ· καὶ ἑπτάκις
τῆς ἡμέρας ἐπιστρέψῃ λέγων μετανοῶ,
ἀφήσεις αὐτῷ· τέλος Καὶ εἶπον οἱ ἀπόστολοι

καὶ ἦσαν διὰ παντὸς ἐν τῷ ἱερῷ·
αἰνοῦντες καὶ εὐλογοῦν
τες τὸν θν̄ ἀμήν :-

ΕΥΑΓΓΕΛΙΟΝ ΚΑΤΑ ΛΟΥΚΑΝ :-

τότε δι

τότε διήνοιξεν αὐτῶν τὸν νοῦν τοῦ συν
ιέναι τὰς γραφάς. καὶ εἶπεν αὐτοῖς·
ὅτι οὕτως γέγραπται. καὶ οὕτως ἔδει παθεῖν
τὸν χν̄. καὶ ἀναστῆναι ἐκ νεκρῶν τῇ τρί
τῃ ἡμέρᾳ. καὶ κηρυχθῆναι ἐπὶ τῷ ὀνόμα
τι αὐτοῦ μετάνοιαν. καὶ ἄφεσιν ἁμαρ
τιῶν εἰς πάντα τὰ ἔθνη ἀρξάμενον
ἀπὸ ἱερουσαλήμ.

Ἐξῆλθε οὖν ὁ λόγος οὗτος εἰς τοὺς ἀδελφούς·
ὅτι ὁ μαθητὴς ἐκεῖνος οὐκ ἀποθνήσ-
κει· καὶ οὐκ εἶπεν αὐτῷ ὁ ις ὅτι
οὐκ ἀποθνήσκει· ἀλλ' ἐὰν αὐ-
τὸν θέλω μένειν· ἕως ἔρ-
χομαι τί πρὸς σέ·
Οὗτός ἐστιν ὁ μαθητὴς ὁ μαρτυρῶν περὶ
τούτων, καὶ γράψας ταῦτα· καὶ οἴδαμεν
ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ·
Ἔστιν δὲ καὶ ἄλλα πολλὰ ὅσα ἐποί-
ησεν ὁ ις· ἅτινα ἐὰν γρά-
φηται καθ' ἕν, οὐδὲ
αὐτὸν οἶμαι τὸν κόσ-
μον χωρῆσαι· τὰ
γραφόμενα
βιβλία
ἀμήν

+ ΕΥΑΓΓΕΛΙΟΝ ΚΑΤΑ ΙΩΑΝΝΗΝ

[illegible]